Σχόλια. Ξυνίημ' ὅτι βόλει.] ἡ ἕκτη περίοδος ἠνωμένη οὖσα κώλων καὶ στίχων ἐστὶν ή. ὧν οἱ πρῶτοι τέσσαρες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. μίαν γὰρ τὰ δύο πρόσωπα τὴν τοιαύτην ποιεῖ περίοδον. τὰ δὲ ἑξῆς τέσσαρα ἀναπαιστικὰ κῶλα. ὧν τὸ ά. ἑφθημιμερές. τὸ β. A ἀναπαιστικὴ βάσις. τὸ γ δίμετρον βραχυκατάληκτον. τῶν πρώτων δύο ποδῶν ὄντων προκελευσματικῶν. τὸ δὲ ὅμοιον τῷ β ὑφ' ὃ παράγραφος. Χιτωνίσκον] τὸ ὑποκοριστικὸν τῷ χιτῶνος. ἐπεὶ ἀρσενικῶς μόνον χιτών, χιτῶνος λέγεται. ἐπὶ δὲ οὐδετέρου χιτώνιον.

Ἀπόδυθι, δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
Ἄπελθε ταυτὶ λαβών. Ποι. ἀπέρχομαι,
Κἀς τὴν πόλιν γ' ἐλθὼν ποιήσω δὴ ταδί.

*Spoliare. oportet enim poetam adiuuare,*
*Abi hanc capiens. Pœ. Abeo,*
*Et in ciuitatem iens, faciam iam hæc.*

Σχόλια. Κἀς τὴν πόλιν.] ἀπελθὼν ποιήσω τὰ B ποιήματα εἰς τὴν πόλιν.

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων δ'.

Κλῆσον ὦ χρυσόθρονε τὰν
Τρομεράν κρυεράν,
Νιφοβόλα πεδία πολύπορά
Τ' ἤλυθον ἀλαλάν.

## CANTVS ET VERSIO MEMbrorum quatuor.

*Lauda ô aureæ sedis*
*Tremorem frigidum,*
C *Niue percussos campos multum, seminabilésque campos euge.*

Σχόλια. Τρομεράν, κρυεράν.] ἐπειδὴ ἐν τῷ ἀέρι τὸ πλάσμα τῆς οἰκοδομῆς ὑποτίθεται. παίζων φησὶ. τὸ τρομεράν μὲν, διὰ τὸ ἀστήρικτον. κρυεράν δὲ, τὴν κρύος μεταλαμβάνουσαν, διὰ τὸ ἐπ' αὐτὴν καταράσσειν τε τὴν δρόσον καὶ τὴν ψυχρότητα. Νιφοβόλα πεδία.] ἀντὶ τοῦ νιφοβόλον καὶ πολύπορον ὅ ἐν κατὰ μεταπλασμόν. μεταπλασμῷ δὲ ἐχρήσατο εἰπὼν νιφοβόλα ὡς ἀπὸ τῆς D νιφοβόλος εὐθείας. ἐπειδὴ δοκεῖ ἐν τῷ ἀέρι οἰκοδομεῖσθαι, διὰ τὸ βάλλεσθαι ὑπὸ νιφετοῦ ἐπαίξεν. ἐπὶ τινὰς δὲ ἀδιανοήτως λέγει. ὅπως διὰ τοῦ ὄγκου τῆς λέξεων ἀπατῶντας, μηδὲν δὲ λέγοντας διαβάλλῃ τοὺς ποιητάς.

BISETVS. Ἀλαλάν.] ἀλαλή, ῆς. καὶ δωρικῶς ἀλαλά, ᾶς. ὁ στρατιωτικὸς θόρυβος, καὶ ἀλαλαγμός. παρὰ τὸ ἀ ἐπιτατικὸν, καὶ τὸ λαλεῖν, τὸ φωνεῖν, καὶ τὴν σφοδρὰν πρὸ μάχης βοὴν κυρίως σημαίνει. ταῦτα δὲ σύνταικτέον οὕτως, ἤλυθον πεδία νιφόβολα, πολύσπορά τε ἀλαλάν. ἀντὶ τῷ εἰς πεδία νιφόβλητα, τοῖς νιφετοῖς βαλλόμενα, καὶ πολύσπορα, πολλὴν σπόρον δεχόμενα, καὶ τρέφοντα. ἤλυθον λέγω ἀλαλάν, ἤγουν κατ' ἀλαλάν, μετ' ἀλαλῆς, μετὰ βοῆς.

## ΣΥΣΤΗΜΑ ΣΤΙχων έ.

## CONSTITVTIO VERsuum quinque.

BISETVS. Τοῦ ποιητοῦ ἀπερχομένου ὁ Πεισθέταιρος ταῦτα μόνος ἐφ' ἑαυτοῦ λέγει. εἶτα πρὸς τὸν E ἱερέα στραφεὶς τὴν θυσίαν, ἧς κατήρξατο, ἐπιτελεῖν κελεύει.

Πισ. Νὴ τὸν Δί'. ἀλλὰ γὰρ πέφευγα ταυταγὲ
Τὰ κρυερά, τονδὶ τὸν χιτωνίσκον λαβών.
Τουτὶ μὰ Δί' ἐγὼ τὸ κακὸν οὐδέποτ' ἤλπισα
Οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν.
Αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.

*Pœ. Per Iouem, sed enim fugi hæc*
*Frigida, hanc interululam capiens.*
*PI. Hoc per Iouem ego malum nunquam sperauι,*
*Sic citò hunc didicisse ciuitatem.*
*Rursus tu circum, capiens gutturnium.*

Σχόλια. Νὴ τὸν Δία.] ἡ ζ περίοδος ἐν ἐκθέσει ἐστίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ε. ἐπὶ τῷ τέλει δύο διπλαῖ F ἔξω νενευκυῖαι. τὸ δὲ περιχώρει πρὸς τὸν ἱερέα φησὶν ἀντὶ τοῦ περίελθε καὶ πέραινε.

## ΙΕΡΕΥΣ, ΧΡΗΣΜΟΛΟΓΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

## SACERDOS, FATIDICVS, Pistheterus.

Εἴσθεσις περιόδου ἀμοιβαίας G στίχων λγ'.

BISETVS. Τοῦ ἱερέως τὴν ἐπιχειρηθεῖσαν θυσίαν ἐπιτελεῖν ὁρμωμένου, ἰδοὺ χρησμολόγος ἐπελθὼν ἀκαίρως αὐτὸν καὶ νῦν ἐνοχλεῖ, καὶ τὴν θυσίαν ἐπιτελεῖσθαι κωλύει.

Ιερ. Εὐφημία ἔστω. Χρ. Μὴ κατάρξῃ τοῦ τράγου.

*SAC. Laudes canantur. Fat. Ne incipias hirco.*